# Bión z Abdér

Testimonia DK 77 A

**A 1** = Diogenés Laertios, Vitae philosophorum IV, 58

γεγόνασι δὲ Βίωνες δέκα· ... τέταρτος Δημοκρίτειος καὶ μαθηματικός, ᾿Αβδηρίτης, ᾿Ατθίδι γεγραφὼς καὶ ᾿Ιάδι· οὗτος πρῶτος εἶπεν εἶναί τινας οἰκήσεις, ἔνθα γίνεσθαι ἓξ μηνῶν τὴν νύκτα καὶ ἓξ τὴν ἡμέραν.

**A 2** = Strabón, Geographica I; p. 29

τοῦ δὲ δύο εἶναι τοὺς ἀνέμους ποιοῦνται μάρτυρας Θρασυάλκην (c. 35, 2) τε καὶ τὸν ποιητὴν αὐτὸν <τῶι> τὸν μὲν ᾿Αργέστην τῶι Νότωι προσνέμειν ᾿ἀργέσταο Νότοιο᾿ (L 306 Q 334), τὸν δὲ Ζέφυρον τῶι Βορέαι ᾿Βορέης καὶ Ζέφυρος, τώ τε Θρήικηθεν ἄητον᾿ (I, 5). φησὶ δὲ Ποσειδώνιος (FGrHist. 87 F 74; II, 268) μηδένα οὕτως παραδεδωκέναι τοὺς ἀνέμους τῶν γνωρίμων περὶ ταῦτα οἷον ᾿Αριστοτέλη, Τιμοσθένη, Βίωνα τὸν ἀστρολόγον, ἀλλὰ τὸν μὲν ἀπὸ θερινῶν ἀνατολῶν καικίαν, τὸν δὲ τούτωι κατὰ διάμετρον ἐναντίον λίβα ἀπὸ δύσεως ὄντα χειμερινῆς· πάλιν δὲ τὸν μὲν ἀπὸ χειμερινῆς ἀνατολῆς εὖρον, τὸν δ᾿ ἐναντίον ἀργέστην· τοὺς δὲ μέσους ἀπηλιώτην καὶ ζέφυρον.